πώλοισι χόρτον, προσδοκῶν ἑωθινὴν
ζεύξειν ἐς ἀλκήν, ἀφθόνῳ μετρῶ χερί.
λεύσσω δὲ φῶτε περιπολοῦνθ᾽ ἡμῶν στρατὸν
πυκνῆς δι᾽ ὄρφνης· ὡς δ᾽ ἐκινήθην ἐγώ,
ἐπτηξάτην τε κἀνεχωρείτην πάλιν·
ἤπυσα δ᾽ αὐτοῖς μὴ πελάζεσθαι στρατῷ,
κλῶπας δοκήσας συμμάχων πλάθειν τινάς.
οἳ δ᾽ οὐδέν· οὐ μὴν οὐδ᾽ ἐγὼ τὰ πλείονα.
εὗδον δ᾽ ἀπελθὼν αὖθις εἰς κοίτην πάλιν.
καί μοι καθ᾽ ὕπνον δόξα τις παρίσταται·
ἵππους γὰρ ἃς ἔθρεψα κἀδιφρηλάτουν
Ῥήσῳ παρεστώς, εἶδον, ὡς ὄναρ δοκῶν,
λύκους ἐπεμβεβῶτας ἑδραίαν ῥάχιν·
θείνοντε δ᾽ οὐρᾷ πωλικῆς ῥινοῦ τρίχα,
ἤλαυνον, αἳ δ᾽ ἔρρεγκον ἐξ ἀντηρίδων
θυμὸν πνέουσαι κἀνεχαίτιζον φόβῳ.
ἐγὼ δ᾽ ἀμύνων θῆρας ἐξεγείρομαι
πώλοισιν· ἔννυχος γὰρ ἐξώρμα φόβος.
κλύω δ᾽ ἐπάρας κρᾶτα μυχθισμὸν νεκρῶν.
θερμὸς δὲ κρουνὸς δεσπότου παρὰ σφαγαῖς
βάλλει με δυσθνητοῦντος αἵματος νέου.
ὀρθὸς δ᾽ ἀνάσσω χειρὶ σὺν κενῇ δορός.
καί μ᾽ ἔγχος αὐγάζοντα καὶ θηρώμενον
παίει παραστὰς νεῖραν εἰς πλευρὰν ξίφει
ἀνὴρ ἀκμάζων· φασγάνου γὰρ ᾐσθόμην
πληγῆς, βαθεῖαν ἄλοκα τραύματος λαβών.
πίπτω δὲ πρηνής· οἳ δ᾽ ὄχημα πωλικὸν
λαβόντες ἵππων ἵεσαν φυγῇ πόδα.
ἆ ἆ.

---

772. *πρὸς ἀλκήν ABC* 775. *κἀνεχωρήτην* BC 776. *ἄπυσα δ᾽ αὐτούς* BC *μὴ πλάθειν στρατῷ* B *μὴ πελάθειν τῷ στρατῷ* C 778. *οἶδ᾽ ἐγώ ABC* 781. *οὓς* BC 783. *ἑδραίαν ῥοήν* BC 784. *θείνοντε δ᾽*] Canterus, *θείνοντες δ᾽* libri. *τρίχα* om. BC 791. *δυσθνητοῦντος*] Nauckius, *δυσθνήσκοντος* libri. 792—835. om. B, sed habet 811—835 post 855. 792. *ὀρθός*] Musurus, *ὀρθῶς* B²C *ὀρθῶν A ὀρθῶς B (C?)* 794. *νεῖραν εἰς πλευράν*] Bothius, *νείαιραν εἰς πλευράν* B² (C?) *νειαίραν εἰς πλευροῦ A νείεραν εἰς πλευροῦ BC*